Καὶ πάλιν· « Ἰδού, φησίν, ἡμέρα ἔρχεται Κυρίου καιομένη ὡς κλίβανος καὶ καταφλέξει αὐτοὺς καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς καὶ πάντες οἱ ποιοῦντες τὰ ἄνομα ὡς καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ καὶ οὐ μὴ ὑπολειφθῇ ῥίζα οὐδὲ κλῆμα. » Ὁ δὲ ἀνὴρ τῶν ἐπιθυμιῶν· « Ἐθεώρουν, φησίν, ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο· καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ. [Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καὶ μυρίαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ.] Κριτήριον ἐκάθισεν καὶ βίβλοι ἀνεῴχθησαν. » Εἶτα μετὰ μικρόν· « Ἐθεώρουν, φησίν, ἐν ὁράματι τῆς νυκτὸς καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη αὐτῷ, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία καὶ πάντες λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσιν καὶ ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος ἥτις οὐ παρελεύσεται καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται· Ἔφριξεν τὸ πνεῦμά μου, ἐγὼ Δανιήλ, ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με. » Τότε ἀναπετάννυνται πᾶσαι τῶν οὐρανίων ἁψίδων αἱ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/61 UNIVERSITÄT LEIPZIG